λίτην μου, λέγει κύριος παντοκράτωρ· πατάξατε τοὺς ποιμένας καὶ
ἐκσπάσατε τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποι-
μένας. [8]καὶ ἔσται ἐν πάσῃ τῇ γῇ, λέγει κύριος, τὰ δύο μέρη ἐξ- 8
ολεθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ·
[9]καὶ διάξω τὸ τρίτον διὰ πυρὸς καὶ πυρώσω αὐτούς, ὡς πυροῦται 9
τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτούς, ὡς δοκιμάζεται τὸ χρυσίον· αὐ-
τὸς ἐπικαλέσεται τὸ ὄνομά μου, κἀγὼ ἐπακούσομαι αὐτῷ καὶ ἐρῶ
Λαός μου οὗτός ἐστιν, καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ θεός μου.
[1]Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ κυρίου, καὶ διαμερισθήσεται τὰ σκῦλά 14
σου ἐν σοί. [2]καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ιερουσαλημ εἰς 2
πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ
αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως
ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολεθρευ-
θῶσιν ἐκ τῆς πόλεως. [3]καὶ ἐξελεύσεται κύριος καὶ παρατάξεται ἐν 3
τοῖς ἔθνεσιν ἐκείνοις καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ
πολέμου. [4]καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ 4
τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ιερουσαλημ ἐξ ἀνατολῶν· καὶ
σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς
καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος μέγα σφόδρα· καὶ κλι-
νεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς βορρᾶν καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς
νότον. [5]καὶ ἐμφραχθήσεται φάραγξ ὀρέων μου, καὶ ἐγκολληθήσεται 5
φάραγξ ὀρέων ἕως Ιασολ καὶ ἐμφραχθήσεται καθὼς ἐνεφράγη ἐν
ταῖς ἡμέραις τοῦ σεισμοῦ ἐν ἡμέραις Οζιου βασιλέως Ιουδα· καὶ
ἥξει κύριος ὁ θεός μου καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ. [6]ἐν ἐκείνῃ 6
τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς καὶ ψῦχος καὶ πάγος· [7]ἔσται μίαν ἡμέ- 7
ραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ
νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. [8]καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύ- 8
σεται ὕδωρ ζῶν ἐξ Ιερουσαλημ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν
τὴν πρώτην καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην,

7 μου $2^0$ BS*†] αυτου rel. | παταξατε BS*W†] -ξον AQS^c*LC* | τους ποιμενας $2^0$ BS*W†] τον -να rel.: = Matth. 26 31 Marc. 14 27 | εκσπασατε BS*VW†] διασκορπισθησονται A: = Matth. 26 31 Marc. 14 27; διασκορπισθητω(uel -τωσαν) S^c*LC*; pr. διασκορπισθησονται(Q^c -θητωσαν) τα προβατα Q† | προβατα] + της ποιμνης A | επαξω] επιστρεψω S^c*L* | ποιμενας ult. AQW*C*] μικρους BS*†, ποιμενας τους μικρους S^c†, μικρους ποιμενας *L* || 8 εν παση τη γη BS*VW†] εν τη ημερα εκεινη AQS^c*C*: eadem pr. *L* | μερη QW] + αυτης BSA (in B sub ※, cf. 4 11), + εν αυτη *C*†, pr. αυτης *L*

14 1 διαμερισθησονται S*A || 2 τα > B† || 3 ημερα $1^0$] -ραι A(†), -ρας W† || 4 ελαιων $1^0 \frown 2^0$ A† | το ημισυ αυτου προς $2^0$ AQW*L*] > BS*C* | αυτου ult.] -των S*† || 5 εμφραχθ. $1^0$] εμ > BS† | φαραγξ $1^0$ AQW] pr. η BS*LC* | ορεων $1^0$] pr. των S^c*LC* | ιασολ V†] ιασοδ BSW†, ασαηλ AQ*C*, ιασσα *L* | και εμφραχθ. $2^0$ BS*LC*] > AQW | καθως ενεφρ. εν ταις ημ.] ον τροπον ενεφρ. απο προσωπου S^c*LC* || 6 init. AQW] pr. και εσται BS*LC* | και $1^0$] αλλα S^c*L* | ψυχος] -χη BS*QW || 7 μια ημερα A | και ult. > A